πατρίδ' ἐπὶ Σπάρταν, διὰ δὲ ξίφος ἤλασε πλευρᾶν
δοῦλα καταγράψας σκῦλα κατ' Ἰναχιδᾶν;

# NICARCHUS

## I

κράνας εὐύδρου παρὰ νάμασι καὶ παρὰ Νύμφαις
ἔστασέν με Σίμων Πᾶνα τὸν αἰγιπόδαν.
τεῦ δὲ χάριν λέξω τοι. ὅσον ποθέεις ἀπὸ κράνας
καὶ πίε καὶ κοίλαν κάλπιν ἑλὼν ἄρυσαι·
ποσσὶ δὲ μὴ ποτὶ νίπτρα φέρειν κρυστάλλινα Νυμφᾶν
δῶρα, τὸν ὑβριστὰν εἰς ἐμὲ δερκόμενος,
ἢ σὺ μὲν οὐ λέξεις ἕτερον λόγον, ἀλλὰ παρέξεις
πυγίξαι· τούτοις χρῶμαι ὁ Πὰν νομίμοις.
ἢν δὲ ποιῇς ἐπίτηδες, ἔχων πάθος, ἔστι καὶ ἄλλα
τέχνα· τῷ ῥοπάλῳ τὰν κεφαλὰν λέπομες.

## II

ἡ πρὶν Ἀθηναίης ὑπὸ κερκίσι καὶ τὰ καθ' ἱστῶν
νήματα Νικαρέτη πολλὰ μιτωσαμένη
Κύπριδι τὸν κάλαθον τά τε πηνία καὶ τὰ σὺν αὐτοῖς
ἄρμεν' ἐπὶ προδόμου πάντα πυρῆς ἔθετο,
"ἔρρετε," φωνήσασα, "κακῶν λιμηρὰ γυναικῶν
ἔργα, νέον τήκειν ἄνθος ἐπιστάμενα."
εἵλετο δὲ στεφάνους καὶ πηκτίδα καὶ μετὰ κώμων
ἡ παῖς τερπνὸν ἔχειν ἐν θαλίαις βίοτον·